# † ΟΜΙΛΙΑ ΙΑ·



† Ὅτι δεῖ τῆς ἀρετῆς πολὺν ποιεῖσθαι λόγον· καὶ μιμεῖσθαι τοὺς ἁγίους· οἳ τῆς αὐτῆς ἡμῖν φύσεως ὄντες, ταύτην μετὰ ἀκριβείας κατώρθωσαν· καὶ ὅτι ῥαθυμοῦσιν ἡμῖν, οὐδεμία ἔσται ἀπολογία·

Κύριε εὐλόγησον:

Ἰδὼν ὅτι κατέτεινα ὑμῶν τὸν λογισμὸν ἐν ταῖς παρελθούσαις ἡμέραις τοῖς καθυστέροις νοήμασι· διὰ τοῦτο νομίζω καιρὸν, σαφεστέραν ὑμῖν παραθεῖναι διδασκαλίαν· καθάπερ γὰρ τὸ σῶμα ὑπὸ τῆς νηστείας κατατεθλιμμένον δεῖται μικρᾶς ἀνέσεως· ἵν' οὕτως πάλιν ἀναζωσάμενον τῇ προθυμίᾳ πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ἀποδύηται· οὕτω καὶ ἡ ψυχὴ χρῄζει διαναπαύεσθαι καὶ ἀνίεσθαι· οὔτε γὰρ ἀεὶ κατατείνειν χρή, οὔτε δὲ ἀνιέναι· ἀλλὰ ποτὲ μὲν τοῦτο· ποτὲ δὲ ἐκεῖνο ποιεῖν· καὶ οὕτως ἡνιοχεῖν καὶ τῆς ψυχῆς τὴν κατάστασιν, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα· ὥσπερ γὰρ τὸ ἀεὶ κατατείνειν τοῖς πόνοις ἀποκναίειν ποιεῖ καὶ ἀναπίπτειν, οὕτω τὸ διηνεκῶς ἀνίεσθαι εἰς ῥᾳθυμίαν ἄγει· τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς καὶ ἐπὶ τοῦ σώματος συμβαῖνον ἴδοι τις ἄν· διὰ τοῦτο πανταχοῦ ἡ συμμετρία καλόν·

Καὶ τοῦτο αὐτὸ παιδεύων ἡμᾶς ὁ τῶν ὅλων θεὸς διδάσκει καὶ δι' αὐτῶν τῶν δημιουργημάτων ἃ πρὸς τὴν ἡμετέραν σύστασιν παρήγαγε· καὶ ἵνα μάθῃς· ἐπὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς· τοῦ φωτὸς λέγω καὶ τοῦ σκότους, τὸν λόγον γυμνάσωμεν· ἐπειδὴ γὰρ τὴν μὲν ἡμέραν ἀφώρισεν ὁ θεὸς εἰς ἐργασίαν τῇ τῶν ἀνθρώπων φύσει· τὸ δὲ τῆς νυκτὸς σκότος ἐχαρίσατο ἀνάπαυσιν καὶ ἀναψυχὴν τῶν πόνων·

† ὁ λόγος οὗτος ὅλος ἠθικός ἐστι ⁘